ἐνέδυσά σε ποικίλα καὶ ὑπέδυσά σε ὑάκινθον καὶ ἔζωσά σε βύσσον, καὶ περιέβαλόν σε τριχάπτῳ καὶ ἐκόσμησά σε κόσμῳ καὶ περιέθηκα ψέλια περὶ τὰς χεῖράς σου καὶ κάθεμα περὶ τὸν τράχηλόν σου καὶ ἔδωκα ἐνώτιον περὶ τὸν μυκτῆρά σου καὶ τροχίσκους περὶ τὰ ὦτά σου καὶ στέφανον καυχήσεως ἐπὶ τὴν κεφαλήν σου, καὶ ἐκοσμήθης χρυσίῳ καὶ ἀργυρίῳ καὶ τὰ περιβόλαιά σου βύσσινα καὶ τρίχαπτα καὶ ποικίλα, καὶ σεμίδαλιν καὶ μέλι καὶ ἔλαιον ἔφαγες, καὶ ἐγένου μοι καλὴ σφόδρα καὶ ἐξῆλθέν σοι ὄνομα ἐυ τοῖς ἔθνεσιν ἐν τῷ κάλλει σου, διότι συντετελεσμένον ἦν ἐν τῇ ὡραιότητι, ἐν εὐπρεπείᾳ ᾗ ἔταξα ἐπὶ σέ, λέγει Ἀδωναὶ Κύριος· καὶ ἐπεποίθεις ἐν τῷ κάλλει σου, καὶ ἐπόρνευσας ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐξέχεας τὴν πορνείαν σου ἐπὶ πάντα πάροδον, καὶ ἔλαβες ἐκ τῶν ἱματίων σου καὶ ἐποίησας σεαυτῇ εἴδωλα ῥαπτά, καὶ ἐξεπόρνευσας ἐν αὐτοῖς· καὶ οὐ μὴ εἰσέλθῃς, οὐδ' οὐ μὴ γένηται· καὶ ἔλαβες τὰ σκεύη τῆς καυχήσεώς σου ἐκ τοῦ ἀργυρίου μου καὶ ἐκ τοῦ χρυσίου μου, ἐξ ὧν ἔδωκά σοι, καὶ ἐποίησας σεαυτῇ εἰκόνας ἀρρενικὰς καὶ ἐξεπόρνευσας ἐν αὐταῖς. » Τοῦ δὲ μακαρίου Ἰερεμίου ἐμβοῶντος καὶ λέγοντος ἐπὶ τούτοις « Μὴ ὁ πεσὼν οὐκ ἀνίσταται ; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει ; Μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ, ἢ ἰατροὶ οὐκ εἰσὶν ἐκεῖ ; » εἶπα γὰρ μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα· πρός με ἀνάστρεψον, ἀλλ' ἐπὶ τούτοις δέδια μή ποτε ἡ ὑμετέρα εὐλάβεια ὑπολάβῃ ἡμᾶς ὡς διδασκαλίας λόγους ποιεῖσθαι οὐ μὰ « τὴν ὑμετέραν ἐλπίδα ἣν ἔχετε πρὸς τὸν θεόν », ἀλλ' ὥσπερ οἱ συνεχόμενοι ὑπὸ δεινῶν ἀλγηδόνων ἐπὰν τὸ πάθος τοῖς ἰατροῖς ἀνατιθῶνται τῇ ἐλπίδι τῶν βοηθημάτων τὰς ὀδύνας καταπαύουσιν· οὕτω κἀγὼ ἐκ τῆς περὶ τὴν ὑμετέραν ἀγάπην ὁμιλίας ὡς ἤδη διορθωθέντων τῶν τραυμάτων, εὐελπιστότερος γέγονα· αὐτῆς